Αἰγύπτῳ διδάγμασι, καθ᾽ ἃ ἐπαιδεύθη, εἰ καὶ μὴ σφόδρα
προσίεντο τὸν τοιοῦτον τρόπον οἱ Σάμιοι μηδὲ ἁρμονίως
21 καὶ ὡς ἐχρῆν προσεφύησαν αὐτῷ. μηδενὸς οὖν αὐτῷ
προστρέχοντος μηδὲ γνησίως ὀρεγομένου τῶν μαθημάτων,
ἃ τοῖς Ἕλλησιν ἐνοικίζειν παντὶ τρόπῳ ἐπειρᾶτο, μὴ περι-
φρονῶν μηδὲ ὀλιγωρῶν τῆς Σάμου διὰ τὸ πατρίδα εἶναι,
γεῦσαί τε πάντως βουλόμενος τῆς τῶν μαθημάτων καλλο-
νῆς τοὺς πατριώτας, εἰ καὶ μὴ ἑκόντας, ἀλλ᾽ οὖν ἐπινοίᾳ
καὶ μεθόδῳ, παρατηρήσας εὐφυῶς τινα καὶ εὐκινήτως ἐν
τῷ γυμνασίῳ σφαιρίζοντα τῶν φιλογυμναστούντων μὲν καὶ
σωμασκούντων, πενήτων δ᾽ ἄλλως καὶ ἀπορωτέρων, λογι-
σάμενος ὅτι εὐπειθῆ ἕξει, εἰ τὰ ἐπιτήδεια ἔκπλεά τις αὐτῷ
ἀμεριμνοῦντι παρέχοι, προσκαλεσάμενος μετὰ τὸ λουτρὸν
τὸν νεανίαν ἐπηγγείλατο αὐτάρκη αὐτῷ ἐφόδια εἰς τὴν τῆς
σωμασκίας ὑποτροφὴν καὶ ἐπιμέλειαν διηνεκῶς παρέξειν,
εἰ διαδέξαιτο αὐτοῦ κατὰ βραχύ τε καὶ ἀπόνως ἐνδελεχῶς
τε, ὥστε μὴ ἀθρόως φορτισθῆναι, μαθήματά τινα, ἃ παρὰ
βαρβάρων μὲν ἐξέμαθεν αὐτὸς νέος ὤν, ἀπολείπει δ᾽ αὐτὸν
ταῦτα ἤδη διὰ τὸ γῆρας καὶ τὴν τούτου ἀμνημοσύνην.
22 ὑποσχομένου δὲ τοῦ νεανίου καὶ τῇ τῶν ἐπιτηδείων ἐλπίδι
ὑπομείναντος τὴν δι᾽ ἀριθμῶν μάθησιν καὶ γεωμετρίας
ἐνάγειν αὐτῷ ἐπειρᾶτο, ἐπ᾽ ἄβακος τὰς ἑκάστου ἀποδείξεις
ποιούμενος, καὶ διδάσκων παντὸς σχήματος, ὅ ἐστι δια-
γράμματος, μισθὸν καὶ ἀντίπονον παρεῖχε τῷ νεανίᾳ τριώ-
βολον. καὶ τοῦτο μέχρι πολλοῦ χρόνου διετέλεσε ποιῶν,
φιλοτιμότατα μὲν καὶ σπουδαίως τάξει τε βελτίστῃ ἐμβι-
βάζων εἰς τὴν θεωρίαν, καθ᾽ ἑκάστου δὲ σχήματος παρά-
23 ληψιν τριώβολον ἐπιδιδούς. ἐπεὶ δὲ ὁ νεανίας ὁδῷ τινι
ἐμμελεῖ ἀγόμενος τῆς ἐκπρεπείας ἤδη ἀντελαμβάνετο καὶ